Ἀριστοτ. περὶ ἀρετῶν, καὶ κακιῶν, καὶ τῶν τούτων μεσοτήτων.

Οὐκ ἂν θεωρίας ἐφάψαιτο ἄνθρωπος, πρὶν ἂν διὰ τῆς πρακτικῆς ἀρετῆς τὰ
οἰκεῖα ῥυθμίσειεν ἤθη, καὶ τὰ δίκην θηρίων ἀγρίων ἐπεμαίνοντα πάθη
καταστορέσειε. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι, οὐ θεμιτόν. εἰ μὲν
οὖν μοναδικὸν βίον ἕλοιτο ὁ ἄνθρωπος, τὰ ἴδια ῥυθμίζειν ὀφείλει ἤθη, καὶ ἔτι
καὶ τῶν δεομένων αὐτοῦ. εἰ δὲ γάμος, παίδων, καὶ οἰκίας προΐστασθαι, καὶ τὰ ἴ-
δια, καὶ πάντων τῶν ἐν τῇ οἰκίᾳ ῥυθμίζειν, καὶ παιδεύειν ὀφείλει. εἰ δὲ
καὶ πόλεως, καὶ πολλῶν ψυχῶν προΐστασθαι, τούτῳ μᾶλλον ἀνήκει διά τε ἔργων
καὶ λόγων τὰ πάθη τῶν ὑπηκόων καὶ πημαινομένων θεραπεύειν, καὶ αὐ-
τοὺς ὡς ὁδόν τε εἰς ἀρετῆς ἐργασίαν ἄγειν.

Ἠθικ.

Οἰκονομικ.

Πολιτικ.

Πρακτικαὶ ἀρεταί.

Φρόνησις, Σωφροσύνη, Ἀνδρία, Δικαιοσύνη.

Θεωρητικαὶ ἀρεταί.

Φυσική, καὶ Θεολογική, ἡ ὑπὲρ φύσιν.

Φρόνησις ἐστὶν ἐπιστήμη ἀγαθῶν, καὶ κακῶν, καὶ οὐδετέρων. ἢ καὶ ἄλλως κατὰ Ἀρι-
στοτέλην, Φρόνησις ἐστὶν ἕξις μετὰ λόγου ἀληθοῦς πρακτικὴ περὶ τὰ ἄττινα ἀγαθὰ καὶ
κακά. καταγίνεται δὲ αὕτη περὶ τὰ συμβουλευτικά, ἃ καὶ ἄλλως ἔχειν ἐνδέχεται.
καὶ περὶ τὰ πρὸς εὐζωΐαν συντείνοντα, ἤτοι νικῆσαι τοὺς ἐχθρούς, κερδᾶναι δικαί-
ως. καὶ τἆλλα. ταύτης τοίνυν ὑπερβολὴ μέν, πανουργία. ἔλλειψις δέ, μωρία. ἔστι
δὲ πανουργία μέν, κακεντρέχεια ψυχῆς, τὸ οἰκεῖον συμφέρον προθεμένης
ἐπὶ λύμῃ τῇ τοῦ πλησίον. μωρία δὲ ἐστὶν ἕξις ἄλογος, ἐν πράξεσι καὶ λόγοις
τοῦ προσήκοντος ἁμαρτάνουσα. α.

πανουργία. Φρόνησις. μωρία.

Σωφροσύνη ἐστὶν ἐπιστήμη αἱρετῶν καὶ οὐχ αἱρετῶν, καὶ οὐδετέρων. καταγίνεται δὲ αὐ-
τὴ περὶ ἡδονὰς τὰς ὑπογαστέρια, καὶ πάθη τὰ ὑπογάστρια. ταύτης ὑπερβολὴ μὲν
ἀκολασία. ἔλλειψις δὲ κατὰ Ἀριστοτέλην, ἀνώνυμος. καλεῖται δ' ὅμως ἠλιθιότης
καὶ ἀναισθησία. ἔστι δὲ ἀκολασία, ἕξις ἄλογος, ταῖς ῥηθείσαις ἡδοναῖς ὑπερκ-
εως χρωμένη. ἀναισθησία δὲ ἐστι, κακία τοῦ ἐπιθυμητικοῦ ἀκινήτως πρὸς ἡ-
δονὰς ἐχούσης. β.

ἀκολασία. σωφροσύνη. ἀναισθησία.

Ἀνδρία δὲ ἐστὶν ἐπιστήμη δεινῶν, καὶ οὐ δεινῶν, καὶ οὐδετέρων. καταγίνεται δὲ περὶ τὰ
θαρραλέα καὶ φοβερά. ταύτης ὑπερβολὴ μέν, θρασύτης. ἔλλειψις δέ, δειλία. ἔστι
δὲ θρασύτης μέν, κακία τοῦ θυμοειδοῦς, πρὸς οὓς οὐ δεῖ καταφερομένη ἀλόγως.
δειλία δὲ ἐστιν, ἀναχώρησις ἀποφαινομένου καθήκοντος διὰ φαντασίαν δεινοῦ.
γ.

θρασύτης. ἀνδρία. δειλία.

Τετάρτη δὲ ἐστὶν ἡ δικαιοσύνη, ἥτις ἐν πάσαις θεωρεῖται ταῖς προρρηθείσαις. κοι-
νὴ γάρ ἐστιν. οὐ περὶ τῆς καθόλου δὲ λεκτέον, ὡς ὁ Ἀριστοτέλης φησίν, ἀλλὰ
τῆς ἐν μέρει, καὶ ἁπλῶς ἀρετῆς λεγομένης. ἔστι τοίνυν δικαιοσύνη, ἕξις μετὰ λό-
γου ἀπονεμητικὴ τοῦ κατ' ἀξίαν ἑκάστῳ. ταύτης ὑπερβολὴ μέν, πλεονεξία.
ἔστι δὲ πλεονέκτης, ὁ τὸ πλεῖον ἑαυτῷ ἐν μὲν τοῖς ἀγαθοῖς ἀπονέμων. ἐν δὲ τοῖς
κακοῖς, τὸ ~~[illegible]~~ ἔλαττον. ἔλλειψις δέ, μειονεξία. μειονέκτης δὲ ἐστιν, ὁ ἐν ἀγαθοῖς μὲν
ὀλίγον. ἐν δὲ τοῖς κακοῖς τὸ πλέον ἐπιφερόμενος. δ.

πλεονεξία. δικαιοσύνη. μειονεξία.

Ἐλευθεριότης ἐστὶν ἕξις μετὰ λόγου διανεμητική. περὶ λῆψιν καὶ δόσιν καταγινομένη χρη-
μάτων. ταύτης οὖν ὑπερβολὴ μέν, ἀσωτία. ἔλλειψις δέ, ἀνελευθερία. ἀνελευθερία ἐστί,

http://digital.slub-dresden.de/ppn346357527/32